# TEZAUR LITURGIC

## 27 OCTOMBRIE

# SLUJBA SF.MUCENIC NESTOR DE LA TESALONIC

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 27 ΟΚΤΩΒΡΙΟΣ

# ΝΕΣΤΩΡ ΜΑΡΤΥΣ

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τό, *Κύριε ἐκέκραξα*, ἱστῶμεν Στίχους ϛ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τρία τοῦ Ἁγίου Δημητρίου. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων

Δεῦτε πιστοὶ συνελθόντες ἀνευφημήσωμεν, τὸν Ἀθλητὴν τὸν μέγαν, καὶ γενναῖον ὁπλίτην, Δημήτριον τὸν πᾶσαν τὴν τοῦ ἐχθροῦ, δυναστείαν πατήσαντα, τούτῳ βοῶντες ἐν πίστει· Ὑπὲρ ἡμῶν, τὸν Χριστὸν Μάρτυς ἱκέτευε.

Τὸν ἀριστέα τὸν θεῖον καὶ μιμητὴν τοῦ Χριστοῦ, τὸ τῆς ἁγνείας κάλλος, τὴν πηγὴν τῶνθαυμάτων, Δημήτριον τὸν μέγαν πάντες πιστοί, ἐν ᾠδαῖς εὐφημήσωμεν, ἁγιαζομενοι σώματα καὶ ψυχάς, ἐν τῇ μνήμῃ τῇ ἐνδόξῳ αὐτοῦ.

Θεσσαλονίκη χορεύει ἐπὶ τῇ μνήμῃ σου, καὶ συγκαλεῖται πάσας, τῶν πιστῶν τὰς χορείας, Δημήτριε τρισμάκαρ, τελέσαι τὴν σήν, φωτοφόρον πανήγυριν· οἷς καὶ ἡμεῖς συνελθόντες ᾀσματικῶς, εὐφημοῦμεν τοὺς ἀγῶνάς σου.

*Καὶ τρία τοῦ Ἁγίου Νέστορος. Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος*

Νέστορ Ἀθλητὰ μακάριε, τὴν πανοπλίαν Χριστοῦ, σεαυτῷ περιθέμενος, αἰσθητῶς Λυαίῳ μέν, συμπλακεὶς τοῦτον ὤλεσας, ταῖς ἀοράτοις δὲ τὸν ἀόρατον, λαβαῖς Βελίαρ σὺ συνεπόδισας, καὶ ἐθανάτωσας, νίκης διαδήματι· ὅθεν τὴν σήν, κάραν ἐστεφάνωσεν, ὁ μεγαλόδωρος.

Λόγοις ἐνθέοις νευρούμενος, Νέστορ σοφὲ ἀληθῶς, Δημητρίου τοῦ Μάρτυρος, ἀλαζόνα τύραννον, ἀνδρικῶς ἐθανάτωσας· καὶ τὸν θανόντα καὶ Ἅδην λύσαντα, ὁμολογήσας Θεὸν ἀθάνατον, θάνατον ἄδικον, καθυπέστης ἔνδοξε· ὅθεν ζωήν, χαίρων ἀτελεύτητον, ἐκληρονομησας.

Θεῖος νεανίας πέφυκας, σώματος ὥρα σοφέ, διαπρέπων καὶ χάριτι, θεϊκῇ κοσμούμενος, καὶ ῥώμῃ σεμνυνόμενος· ὅθεν Λυαίου λύσας τὴν δύναμιν, τῇ δυναστείᾳ τοῦ, Παντοκράτορος, χαίρων ἐνήθλησας, καὶ χοροῖς ἠρίθμησαι τῶνἀθλητῶν, οἷς συναγαλλόμενος, ἡμῶν μνημόνευε.

*Δόξα... Ἦχος πλ. β'*

Δεῦτε φιλομάρτυρες, τοὺς τοῦ Χριστοῦ Ἀθλοφόρους, ἐν ὕμνοις τιμήσωμεν· Δημήτριον τὸν ἀήττητον Μάρτυρα, καὶ Νέστορα τὸν γενναῖον ὁπλίτην, καὶ στρατιώτην αὐτοῦ. Οὗτοι γὰρ τὴν τοῦ βαρβάρου Λυαίου, ἰσχὺν εἰς γῆν καθελών, οἱ καὶ καλῶς ἀγωνισάμενοι, κατὰ τοῦ ἀοράτου ἐχθροῦ, καὶ βραβεία τῆς νίκης ἀναδησάμενοι, πρεσβεύουσι Χριστῷ, ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει καὶ πόθῳ τελούντων τὴν μνήμην αὐτῶν.

*Καὶ νῦν... Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾿ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς

ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.(Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν,

μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Ἀγάλλου ἐν Κυρίῳ, καὶ κατατέρπου ἡ τῶν πιστῶν Ἐκκλησία, ἐπὶ τῇ ἐτησίῳ μνήμῃ τοῦ λαμπροῦ τῆς ἀληθείας Νέστορος τοῦ Μεγαλομάρτυρος, καὶ εὐχαρίστως τῷ Σωτῆρι ἀνακράζει· ἐμεγαλύνθη ἡ δόξα Σου Κύριε, καὶ ὑπερυψώθη Σοῦ μόνον τὸ ὑπερύψιστον ὄνομα, ὅτι ἐν ἀσθενείᾳ σαρκός, τὸν ἰσχυρὸν κατεπάλαισας, καὶ τὴν τούτου ὀφρὴν εἰς γῆν καταβέβληκας· ἀλλ' ὁ τὸν Σὸν Ἀθλητήν, καὶ ἐνισχύσας καὶ δοξάσας, ταῖς θείαις αὐτοῦ ἱκεσίαις, καὶ ἡμᾶς ἐνίσχυσον, κατὰ τῆς τῶν ἐχθρῶν ἀοράτου δυνάμεως, καὶ νικητὰς ἀναφανέντας δόξασον, ἐν τῇ ἀνεκλαλήτῳ δόξῃ τῆς Βασιλείας Σου.

*Ὁ αὐτός.*

Ὡς μέγας, ὡς πολὺς σου ὁ πόθος, Νέστορ πανθαύμαστε, τὸ σὸν αἷμα διεκχέαι ὑπὲρ Χριστοῦ· δι' ὃ τοῦ πόθου τυχεῖν ἐφιέμενος, πρὸς τοὺς μαρτυρικοὺς

ἀγῶνας ηὐτομόλησας· οὓς ἀνδρικῶς διανύσας ἔνδοξε, καὶ τὴν κάραν ἐκτμηθείς, ἔστης νῦν τοῦ πόθου, Χριστὸν ἀπολαβὼν τὸν σὸν ἔρωτα, ᾧ πρεσβεύων μὴ διαλείπῃς, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν θείαν μνήμην σου.

*Ὁ αὐτός.*

Συντετριμμένῃ καρδίᾳ καὶ ψυχῆς ζέοντι πόθῳ, τοῦ μαρτυρίου ποιεῖν ἐφιέμενος τὸ ποτήριον, ἔστης νῦν τοῦ πόθου, τῆς αἰτήσεως, Ἀθλοφόρε Νέστορ πανένδοξε, δι’ ὃ μαρτυρικῇ παῤῥησίᾳ καὶ δόξῃ τῷ Χριστῷ παριστάμενος, αἴτησαι τοῖς ποθοῦσί σε πᾶσι, τὸ θεῖον αὐτοῦ καὶ πλούσιον ἔλεος.

*Ὁ αὐτός.*

Τὸν γενναῖον ὁπλίτην τοῦ Χριστοῦ, καὶ λαμπρὸν ἀριστέα, Νέστορα τὸν θεῖον Μάρτυρα, στέμμασιν εὐφημιῶν καταστέψωμεν, ὡς ἀνδρείως ἀγωνισάμενον, καὶ τρόπαια νίκης δυνάμει τοῦ Σταυροῦ, κατ’ ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων ἀράμενον, καὶ πρεσβεύοντα ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ὁ αὐτός.*

Τρισαριστεῦ ἀντιλῆπτορ ἡμῶν μεγαλόδοξε Δημήτριε, τῶν μαρτυρικῶν κοιλάδων τὸ ἀμάραντον ἄνθος, τὸ μῆλον τὸ εὔοσμον, ἄμπελος ἡ κυπρίζουσα τοῖς διαφόροις τοῦ Πνεύματος χάρισιν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πᾶσι τῇ γῇ, ὅτι ἐπήρθη ἡ μεγαλοπρέπεια τῶν θαυμάτων σου, ὑπὲρ ἄνω τῶν οὐρανῶν, προσαδέτω σοι ταῦτα κατὰ καιρόν, κιννύρα δαβιτική· τὸν γὰρ Θεάνθρωπον Λόγον τοῦ

πανυψίστου Πατρός, ὡς ἐκείνου γνήσιος δοῦλος κατὰ δύναμιν μιμησάμενος, ἐπὶ σταυροῦ μὲν οὐκ ἀνέβης, λόγχας δὲ ὅμως τὸ καθαρώτατον σῶμά σου, μυριότρωτον ἐκ τούτων ἀπέδειξας, καὶ νῦν αἰδεῖταί σου τὸ τίμιον πάθος, ἡ ἐν Ἐδὲμ φλογίνῃ ῥομφαίᾳ, ὡς πάλαι τῆς τοῦ Σωτῆρος πλευρᾶς, τὸ ἓν πεφόβηται λόγχευμα, καὶ πάροδον πρώτῳ παρέσχε τῷ εὐγνώμονι καὶ θεοσόφῳ λῃστῇ· διὰ τοῦτο καὶ θαυμαστοῦται τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ, καὶ ἡ μεγαλοπρέπεια τῆς δόξης σου, ἀπὸ περάτων εἰς πέρατα μεγαλύνεται, ὑπερβαλλόντως δὲ τῇ πατρῴᾳ σου γῇ, τῇ τῶν Θετταλῶν προκαθεζομένῃ, καὶ ὑπὸ σοῦ περιφρουρουμένῃ, ἐκ παντοδαπῶν καὶ συνεχῶν περιστάσεων.

*Ὁ αὐτός.*

Τὸν ἀριστέα τοῦ Χριστοῦ, Νέστορα τὸν ἀοίδιμον· συνελθόντες οἱ πιστοί, ἐγκωμίοις μαρτυρικοῖς, καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν, οὗτος τὸν πρὸς ἐχθροὺς πόλεμον ὑπελθών, καὶ νομίμως ἀθλήσας, ἀξίως τὸ τῆς νίκης βραβεῖον ἐδέξατο, καὶ νῦν ἐν οὐρανοῖς, μετ' Ἀγγέλων χορεύων τὴν ἀκατάλυτον χορείαν, αἰτεῖται τῇ οἰκουμένῃ εἰρήνην καὶ τὸ μέγα ἔλεος.

*Ἦχος β΄.*

Ἀγαλλομένη σήμερον ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τοὺς σοὺς ἀγῶνας καὶ τὰς ἀριστείας περικροτεῖ Νέστορ πανεύφημε, καὶ πιστῶς ἑορτάζει τὴν σεβάσμιον μνήμην σου, ὡς μαργαρίτας θεαυγεῖς, τὰ μαρτυρικᾶ σου περιφέρουσα στίγματα, ἃ διὰ Χριστὸν τὸν Θεὸν

ὑπέστης καὶ δόξης ἠξιώθης τῆς ἀϊδίου. Ὡς ἔχων παῤῥησίαν πρὸς Αὐτὸν πανένδοξε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ὁ αὐτός.*

Μεγαλομάρτυς Χριστοῦ, Ἀθλοφόρε Νέστορα, κατὰ χρέος ἐκτελοῦμεν τὴν ἐτήσιον μνήμην σου, ἀνυμνοῦντες ἐν ᾄσμασι τοὺς ὑπὲρ Χριστοῦ ἀγῶνας καὶ τοὺς ἄθλους σου, Ὃν καθικέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος δ΄.*

Δεῦτε τῶν πιστῶν τὸ σύστημα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν, καὶ τοὺς Ἀθλοφόρους Χριστοῦ τοῦ Θεοῦ, ἐν ὕμνοις τιμήσωμεν· Δημήτριον καὶ Νέστορα. Σήμερον γὰρ ὡς ἑωσφόροι ἀνέτειλαν, καὶ καταφωτίζουν τὰς διανοίας τῶν πιστῶν, τῶν ἐν πίστει καὶ πόθῳ, ἐπιτελούντων τὴν μνήμην αὐτῶν τὴν σεβάσμιον.

*Ὁ αὐτός.*

Δεῦτε συμφώνως οἱ πιστοί, μνήμην τελέσωμεν, Νέστορος Μάρτυρος, οὗτος γὰρ νέος Δαβὶδ ἀνεδείχθη ἡμῖν, ὥσπερ γὰρ ἐκεῖνος, τὸν Γολιὰθ καταβαλὼν ἐτροπώσατο, οὕτω καὶ ὁ ἔνδοξος Ἀθλοφόρος, τῷ παλαιμναίῳ Λυαίῳ συμπλακείς, καὶ νίκης τρόπαια ἔστησε· ἑαυτὸν θῦμα εὐπρόσδεκτον, τῷ Χριστῷω προσήγαγε τοῦ μαρτυρίου, καὶ παῤῥησίαν ἔχων πρὸς αὐτόν, τὴν εἰρήνην τῷ κόσμῳ αἰτεῖται, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

*Ἦχος πλ. δ΄.*

Ἄνθραξ θειος ἀνήφθης, ἀπὸ Κυρίου Παντοκράτορος, Νέστορ Μεγαλομάρτυς, τὴν πλάνην πᾶσαν καταφλέγων τῆς εἰδωλομανίας, τοὺς πιστοὺς δὲ πάντας καταφωτίζων, θαυμάτων τοῖς πυρσεύμασι, διὸ καὶ ἡμεῖς ἐν τῇ μνήμῃ σου σήμερον, ἀγαλλομένῃ καρδίᾳ καὶ λογισμῷ θεόφρονι, εὐφημοῦμεν τοὺς θαυμαστοὺς ἀγῶνάς σου, δι' ὧν καὶ τοῦ Λυαίου τὴν ἰσχὺν εἰς γῆν κατέβαλες, αἰτούμενοι τυχεῖν διὰ σοῦ, τῶν πταισμάτων ἱλασμόν, καὶ τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε φιλομάρτυρες πάντες, εὐωχηθῶμεν ἐν τῇ πανσέπτῳ πανηγύρει τοῦ Ἀθλοφόρου, καὶ πνευματικῶς πανηγυρίσωμεν, σήμερον γὰρ συγκαλεῖται ἡμᾶς, ἡ πανσεβάσμιος μνήμη, Νέστορος τοῦ Μεγαλομάρτυρος, τράπεζαν ἡμῖν παρατιθεμένη, τὰς ἀριστείας τῶν παλαισμάτων αὐτοῦ, καὶ τὴν πανεύφημον αὐτοῦ κεφαλήν, ἰάματα ὡς νάματα βλύζουσα, πᾶσι τοῖς πιστῶς αὐτῇ προσιοῦσι, καὶ ἀρυομένοις ἐξ αὐτῆς ἴασιν, ψυχῶν τε καὶ σωμάτων, καὶ δεινῶν ἀπαλλαγήν, καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν... Θεοτοκίον*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντας, τοὺς τιμῶντας τὴν σεπτήν, θείαν καὶ σεβάσμιον μνήμην, Μάρτυς Δημήτριε, πάσης περιστάσεως, ῥῦσαι πρεσβείαις σου, ἀλλοφύλων ἐφόδου τε, λιμοῦ τε λοιμοῦ τε, νόσον τε μαχαίρας τε, καὶ ἐμπρησμοῦ καὶ σεισμοῦ, ὅπως, εὐχαρίστοις ἐν ὕμνοις, ὡς κοινὸν ἡμῶν εὐεργέτην, σὲ ἀκαταπαύστως μεγαλύνωμεν.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Μῦρα, εὐωδέστατα ἡμῖν, τὸ τῶν ἰαμάτων ἐκβλύζεις, Μάρτυς Δημήτριε, ἐν τῇ θείᾳ μνήμῃ σου, καὶ ἀπελαύνεις σοφέ, ἀηδείαν τῶν θλίψεων, καὶ πάθη σωμάτων, καὶ πλοσόας χάριτας, πληροῖς τὸν σύλλογον, πάντων, τῷ Χριστῷ ἐκβοώντων, σὺ εἶ τὸ ἀκένωτον μῦρον, τὸ εὐωδιάζον τοὺς ὑμνοῦντάς σε.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Ἔχων, παῤῥησίαν πρὸς Χριστόν, τὸν ἐνδοξαζόμενον μόνον, ἐν τοῖς Ἁγίοις Αὐτοῦ, τοῦτον καθικέτευε, ἔνδοξε Νέστορα, ὑπὲρ πάντων τῶν πόθῳ σου, τελούντων τὴν μνήμην, καὶ ἀνευφημοῦντώ σε τὰ κατορθώματα, ὅπως, τῶν ἀφράστων ἐκείνων, θείων ἀγαθῶν καὶ τῆς δόξης, κοινωνοὶ γενώμεθα πρεσβείαις σου.

*Δόξα. Ἦχος πλ. β΄.*

Ἐξέλαμψε σήμερον, ἡ ἔνδοξος μνήμη σου Δημήτριε πολύαθλε, συγκαλοῦσα ἡμᾶς τοὺς φιλεόρτους πρὸς εὐφημίαν, καὶ δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ὅθεν καὶ

προστρέχοντες, ἐν τῇ σορῷ τῶν λειψάνων σου, ἰαμάτων χαρίσματα λαμβάνομεν, καὶ τὸν σὲ στεφανώσαντα Σωτῆρα Χριστόν, ἀνυμνοῦμεν εἰς αἰῶνας, ἀκαταπαύστως δοξάζοντες.

*Καὶ νῦν. Θεοτοκίον*

Ὁ ποιητὴς καὶ λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρῴην κατάρας, τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου. Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Τοῦ Ἁγίου Δημητρίου. Ἦχος γ'*

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον. Ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, ἐν τῷ σταδίῳ θαρρύνας τὸν Νέστορα, οὕτως Ἅγιε, Μεγαλομάρτυς Δημήτριε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Ὅμοιον. Τοῦ Ἁγίου Νέστορος.*

Ὃν ἐπόθησας, Χριστὸν γνησίως, Νέστορ ἔνδοξε, Μάρτυς στεῤῥόφρον, ταῖς εὐχαῖς Δημητρίου τοῦ Μάρτυρος, ἐν τῷ σταδίῳ πρὸς πάλην ἀνέδραμες, ὅθεν τὸ στέφος τῆς νίκης ἀπείληφας, ὡς οὖν ἔτυχες, οὗπερ ἐπόθεις ἀοίδιμε, μνημόνευε ἡμῶν τῶν εὐφημούντων σε.

*Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄ στιχολογίαν,*

*κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Τὸν θεῖον Ἀθλητήν, εὐσεβῶς συνελθόντες, Δημήτριον πιστοί, εὐφημήσωμεν ὕμνοις, σὺν τούτῳ γεραίροντες, τὸν λαμπρὸν πάντες Νέστορα, ὃς τὴν ἔπαρσιν, τὴν τοῦ Λυαίου καθεῖλε, καὶ ἐνήθλησεν, ὑπὲρ Χριστοῦ καὶ τῆς δόξης, Αὐτοῦ κατηξίωται.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε ἁγνή, Θεοτόκε Μαρία, ἡ μόνη τῶν πιστῶν, προστασία καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι, τοὺς ἐπὶ Σοὶ τὰς ἐλπίδας, Κόρη ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον, ταῖς θείαις πρεσβείαις Σου.

*Μετὰ τὴν β΄ στιχολογίαν,*

*κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Ὡς γενναῖον Ἀθλητήν, καὶ στρατιώτην κραταιόν, τοῦ παντάνακτος Χριστοῦ, ἀνευφημοῦμέν σε πιστῶς·

χαῖρε Μαρτύρων ὡράϊσμα καὶ τερπνότης, χαίροις ὁ φαιδρός, τῆς Ἐκκλησίας ἀστήρ, καὶ τεῖχος καὶ λιμήν, τῶν προσφευγόντων εἰς σέ, Μεγαλομάρτυς ἔνδοξε Δημήτριε, τοὺς σὲ ὑμνοῦντας περίσωζε, καὶ πάσης βλάβης τοῦ ἀλλοτρίου, καὶ κακώσεως λύτρωσαι.

*Δόξα.*

Τὸ θανεῖν ὑπὲρ Χριστοῦ, μᾶλλον τοῦ ζῆν ἐπιποθῶν, ηὐτομόλησας στεῤῥέ, πρὸς τοὺς ἀγῶνας ἀνδρικῶς, οὓς διανύσας γενναίως θείᾳ ἰσχύϊ, διέκοψας ἐχθρῶν, Νέστορ τὰς φάλαγγας, καὶ τρόπαια λαμπρά, ἤγειρας ἔνδοξε, καὶ στέφος τὸ τῆς νίκης ἐκομίσω, παρὰ τοῦ πάντων δεσπόζοντος, δι’ ὅ σου πάντες, τὴν θείαν μνήμην ᾄσμασιν εὐφημοῦμεν.

*Καὶ νῦν... Θεοτοκίον*

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετὸν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε, βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ Μνήστωρ σου καὶ φύλαξ, τοῖς Ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει παρθένος.

Μετὰ τὸν πολυέλεον,
κάθισμα. Ἦχος δʹ. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον, ἡ οἰκουμένη, τοὺς σεπτοὺς ἀγῶνάς σου, ἔνδοξε Νέστορ Ἀθλητά, τὸν Ζωοδότην δοξάζουσα, τὸν σὲ προστάτην, θερμὸν ἀναδείξαντα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὰς ἀχράντους χεῖράς Σου, Παρθενομῆτορ, ἐφαπλοῦσα σκέπασον, τοὺς πεποιθότας ἐπὶ Σέ, καὶ τῷ Υἱῷ Σου κραυγάζοντας· πᾶσι παράσχου Χριστὲ τὰ ἐλή Σου.

Οἱ ἀναβαθμοί· τὸ α' ἀντίφωνον τοῦ δ΄ ἤχου.
Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*
Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*
Εὐαγγέλιον μαρτυρικόν.
Ὁ Ν΄ ψαλμός.
Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*
Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Σήμερον ἡ οἰκουμένη πᾶσα, τῇ τοῦ Ἀθλοφόρου ἀγάλλεται ἀθλήσει, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τοῖς ἄνθεσιν ὡραϊζομένη Δημήτριε, βοᾷ σοι· θεράπων Χριστοῦ, καὶ προστάτα θερμότατε, μὴ ἐλλείπῃς πρεσβεύειν ὑπὲρ τῶν δούλων σου.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου, τοῦ Ἁγίου Δημητρίου καὶ τοῦ Ἁγίου Νέστορος.

Τοῦ Ἁγίου Δημητρίου, μεθέορτος.

*ᾨδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.*

Ἀναστάσεως ἡμέρα Δημητρίου σφαγή, πίπτει καὶ γὰρ ἡ πλάνη, ἡ δ' Ἐκκλησία Χριστοῦ, ἐξεγήγερται λαμπρῶς, καὶ χαίρει χαρᾷ, ᾠδὴν χαριστήριον τῷ Θεῷ ἀνακράζουσα.

Καθαρθῶμεν ῥύπον πάντα, καὶ συνδράμωμεν ἔνδον, λευχειμονοῦντες τοῦ Δημητρίου τοῦ σοροῦ, ἐξαστράπτοντα αὐτόν, ὁρῶντες τρανῶς, ὡς ἂν ἀκουσώμεθα, πρὸς τοῦ Μάρτυρος χαίρεται.

Οὐρανοὶ μὲν διηγοῦνται, ὄντως δόξαν Θεοῦ, ἣν τοὺς πιστοὺς δοξάζει, ποίησιν δ' αὖθις τῶν χειρῶν, τὸ στερέωμα ὑμνεῖ, ὁ Μάρτυς ἰδού, χειρῶν Θεοῦ ποίημα, διὰ τοῦτο γεραίρεται.

*Θεοτοκίον*

Πεῖραν ὅλως ἡ Παρθένος, μὴ εἰδυῖα ἀνδρός, ἄσπορον τίκτεις βρέφος, ἄχραντον φέρει τοκετόν, τὸν τῶν ὅλων Ποιητήν, Χριστὸν τὸν Θεόν, Αὐτὸν ἐκδυσώπησον, εἰρηνεῦσα τὰ σύμπαντα.

*Τοῦ Ἁγίου Νέστορος. ᾨδὴ α' Ἦχος δ'. Ἅρματα Φαραὼ*

Ἅρματι φλογερῷ, τῷ σῷ αἵματι Σοφέ, χαίρων ἐπιβέβηκας, καὶ πρὸς οὐράνιον ὕψος, ἔνθα Ἰησοῦς τὸ ἄχρονον φῶς, μετὰ χαρᾶς ἀνελήλυθας.

Θώρακα νοητόν, τὸν τῆς πίστεως σαυτῷ, Νέστορ περιθέμενος, καὶ τὸν Σταυρὸν ὡς δόρυ ἔχων ἐν χερσί, τὰς τοῦ ἐχθροῦ, στερρῶς συνέκοψας φάλαγγας.

Ζέσει τῆς τοῦ Χριστοῦ, κρατυνόμενος στοργῆς, ἔνδον εἰσεπήδησας, ἐν τῷ σταδίῳ καὶ πάσας, ἔλυσας Λυαίου μηχανάς, καὶ νίκης τρόπαιον ἔστησας.

*Θεοτοκίον*

Συνέλαβες ἐν γαστρί, τὸν συνάναρχον Πατρί, ἔτεκες ἀπείρανδρε, ὑπερφυῶς κατὰ σάρκα, μείνασα παρθένος ὄντως Ἁγνή· διὸ σε πάντες γεραίρομεν.

*Ὠδὴ γ΄. Τοῦ Ἁγίου Δημητρίου. Δεῦτε πόμα.*

Δεῦτε πόμα πίωμεν καινόν, ἐκ πλευρᾶς Δημητρίου τὸ προχεόμενον, καὶ τῆς ὀσμῆς τῶν αὐτοῦ, αἰσθώμεθα μύρον δαψιλῶς, ἐν οἷς στερεούμεθα.

Νῦν πᾶσα πεπλήρωται χαρᾶς, ἡ Χριστοῦ Ἐκκλησία, μνήμη τοῦ Μάρτυρος, Θεσσαλονίκη δὲ κροτεῖ, καὶ μᾶλλον τοῖς μύροις τοῖς αὐτοῦ, ἐν οἷς ἐστερέωται.

Χθὲς συνεσταυροῦτο τῷ Χριστῷ, τῇ ἀθλήσει ὁ μέγας Μάρτυς Δημήτριος, καὶ συνδοξάζεται νῦν λαμπρῶς στεφανούμενος, Θεῷ ἐν ᾧ ἐστερέωται.

*Θεοτοκίον*

Ἐν βάτῳ Μωσῆς Σου τυπικῶς, τὸ μυστήριον πάλαι σεμνὴ ἑώρακεν, ὡς γὰρ ἐκείνην ἡ φλόξ, τὸ πῦρ τῆς Θεότητος, τὴν Σὴν νηδὺν οὐ κατέφλεξεν.

*Τοῦ Ἁγίου Νέστορος. Ὁ στερεῶν βροντὴν*

Δυναμωθεὶς τῷ κράτει τῆς ἰσχύος, τοῦ τοὺς μοχλοὺς συντρίψαντος, καὶ τὰς τοῦ Ἅδου πύλας, σπουδῇ εἰς τὸ στάδιον εἰσῆλθες, καὶ κραταιῶς συνέτριψας, ἐχθροῦ μηχανήματα.

Ὁ παλαιᾶς ἀπάτης ἀρχηγέτης, πρὸ τῶνποδῶν σου ἥπλωται· νεανικῶς γὰρ πρὸς ἐκτομήν, προσεχώρησας τοῦ ξίφους, Νέστορ Μαρτύρων καύχημα· διὸ εὐφημοῦμέν σε.

Προκαταλύσας θράσος παρανόμων, Θεῷ θυσίαν ἔθυσας, Μάρτυς τὸ αἷμά σου ἀμοιβήν, ἱερὰν αὐτῷ παρέχων· διὸ σε ἀντημείψατο, πλουσίοις χαρίσμασι.

*Θεοτοκίον*

Τὴν ἐξ, Ἀδὰμ τοῦ γένους ἀμορφίαν, ἐπεισαχθεῖσαν βρώματι, κυοφορούμενος Ἰησοῦ, ἐν γαστρὶ τῆς Θεοτόκου, ὑπερφυῶς ἀνέπλασας, τὸ πρῶτον κάλλος δοὺς ἡμῖν.

*Κάθισμα Ἦχος δ'. Ὁ ὑψωθεὶς*

Οὐ κατεπλάγης τῶν ἐχθρῶν τὴν μανίαν, οὐκ ἐδειλίασας σαρκὸς ἀλγηδόνας, ἀλλ' ἀπτοήτως ἔδραμες πρὸς πάλην Σοφέ, φέρων τὸ ὑπέρμαχον, τοῦ Σταυροῦ θεῖον ὅπλον· ὅθεν τὸν ἀλάστορα, παρευθὺς θανατώσας, ἐθανατώθης Νέστορ καὶ ζωῆς, κατηξιώθης Χριστῷ παριστάμενος.

*Θεοτοκίον*

Ὁ ἐπὶ θρόνου Χερουβὶμ καθεζόμενος, καὶ ἐν τοῖς κόλποις τοῦ Πατρὸς αὐλιζόμενος, ὡς ἐπὶ θρόνου κάθηται ἁγίου αὐτοῦ, Δέσποινα ἐν κόλποις σου, σαρκικῶς· ὁ Θεός γάρ, ὄντως ἐβασίλευσεν, ἐπὶ πάντα τὰ ἔθνη, καὶ συνετῶς νῦνψάλλομεν αὐτῷ· ὃν ἐκδυσώπει, σωθῆναι τοὺς δούλους σου.

*Ὠδὴ δ΄. Τοῦ Ἁγίου Δημητρίου. Ἐπὶ τῆς θείας.*

Ἐπὶ τῆς θείας φυλακῆς, τοῦ Δημητρίου τοῦ σοροῦ, στῶμεν εὐλαβῶς καθορῶντες, φαεσφόρον σήμερον, τὸν Ἀθλοφόρον κράζοντα, ἤδθητε νοητῆς εὐφροσύνης, καὶ ὕωρ ὡς ἐκ πηγῆς μῦρον ἀντλήσατε.

Ὡς ἐνιαύσιος ἀμνός, ὁ μυροῤῥόας τῷ Χριστῷ, τέθυται σφαγῇ ἑκουσίῳ, τοῦ ποιεῖν γὰρ ἔσπευδε, τὸ τοῦ Χριστοῦ ποτήριον, πίνει οὖν καὶ πηγὴν τὴν τῶν μύρων, πιστοὺς ποτίζει δι’ ὃ καὶ μεγαλύνεται.

Ἄρσεν μὲν τὸ εἰς θυσίαν, προσαγόμενον ποτέ, ἦν ὑποδηλοῦν τὸ γενναῖον, ἀρετῶν καὶ γόνιμον, τῶν προσαγαγόντων οὕτω γάρ, βούλεται ὁ Θεὸν ἔχειν πάντας, ὅρα μοι ταῦτα λοιπὸν τῷ θείῳ Μάρτυρι.

*Θεοτοκίου*

Μόνη ἐφάνης γυναικῶν, χρῆμα πανθαύμαστον ἁγνή, πρᾶγμα φοβερόν, τὴν γὰρ φύσιν, Σὺ ἐκαινοτόμησας, ἄνευ σπορᾶς κυήσασα, μείνασα πάλιν ὡς πρὶν Παρθένος, ὁ γεννηθεὶς γὰρ ἐξ Σοῦ, Θεός ἐστιν ἀληθής.

*Τοῦ Ἁγίου Νέστορος. Εἰσακήκοα ὁ Θεὸς*

Δημητρίου καταυγασθείς, ταῖς φωτοβόλοις διδασκαλίαις, τῆς Ἑλλήνων ματαιότητος, τὴν ἀχλὺν διέφυγες, καὶ μαρτυρίου φέγγος ἀπήστραψας.

Ἀπιστίας τὴν ἁλμυράν, ταράξας θάλασσαν γλυκασμῷ σου, τῆς νοστίμου Νέστορ πίστεως, ἀσεβῶν στρατεύματα, βυθῷ τῶνσῶν αἱμάτων ἀπέπνιξας.

Φυτευόμενον πρὸς ζωήν,ἐδείχθης δένδρον τῇ εὐκαρπίᾳ, διατρέφων τῶνἀγώνων σου, τῶν πιστῶν τὸ πλήρωμα, Νέστορ Χριστοῦ Μαρτύρων τὸ καύχημα.

*Θεοτοκίον*

Καθαρτήριόν μοι γενοῦ, ἁμαρτημάτων, καὶ δὸς μοι χεῖρα, βοηθείας κινδυνεύοντι, Παναγία Δέσποινα, Χριστιανῶν βεβαία ἀντίληψις.

*Ὠδὴ ε΄. Τοῦ Ἁγίου Δημητρίου. Ὀρθρίσωμεν ὄρθου βαθέος.*

Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντι μύρου τοῖς μύροις προσέλθωμεν Δημητρίου, καὶ αὐτὸν ὀψόμεθα, ὡς ἐκ παστοῦ ἀνίσχοντα, ἥλιον πάντας φωτίζοντα.

Τὴν ἄμετρόν σου καρτερίαν, Χριστοῦ ὁπλῖτα, καὶ Ἄγγελοι βλέποντες, ἰδοὺ σῶμα ἐκπλαγῶς ἀνέκραζον· ἀδάμαντος στεῤῥότερον, πνεῦμα χειρῶν Θεοῦ δ’ ἄξιον.

Προσέλθωμεν λαμαπδηφόροι, τῇ μυροθήκῃ Δημητρίου Μάρτυρος, καὶ λαμπάδας, τὰς ἔνδον κοσμήσωμεν, τὸ μῦρον ὡσεὶ ἔλαιον, ψυχῆς ἀγγείοις λαμβάνοντες.

*Θεοτοκίον*

Ἐκύησας φύσεως νόμῳ, ἀλλ’ ὑπὲρ νόσον Σοῦ γὰρ μόνης ἄσπορος ἡ λοχεία, φρικτὸς καὶ νοούμενος ὁ τρόπος, καὶ λεγόμενος τοῦ τοκετοῦ Σου πανάμωμε.

*Τοῦ Ἁγίου Νέστορος. Ὄρθρον φαεινὸν ἡμῖν*

Λόγοις θείας γνώσεως, τὴν διάνοιαν καταρδευθείς, μαρτυρίου στάχυν ὥριμον, ἔνδοξε Νέστορ ἐβλάστησας.

Νόμοις τοῖςτῶν λόγων σου, ὦ Δημήτριε Μάρτυς τοῦ Χριστοῦ, ἀθεΐας τὸ ἀνόμημα, ὁ Νέστωρ τὸ μέγα κατέπαυσεν.

Ἐχθρὸν πρὸς ὁρώμενον, συμπλεκόμενος τὴν τοῦ Θεοῦ, ἀοράτως συμμαχίαν, ἐκέκτησο Νέστορ ἀοίδιμε.

*Θεοτοκίον*

Χαῖρε ἡ κυήσασα, τὸν Θεὸν ἄνευ σπορᾶς, χαῖρε μόνη Θεομῆτορ πανάχραντε, χαῖρε Νύμφη ἀνύμφευτε.

*ᾨδὴ στ΄. Τοῦ Ἁγίου Δημητρίου. Κατῆλθε ἐν ταῖς κατωτάτοις τῆς γῆς.*

Κατῆλθες ἐν μνήματι Μάρτυς καινῷ, ὥσπερ ἥλιος φαιδρῶς ἁγιάζων τοὺς πίστει, ἀνευφημοῦντας τὴν σήν, νῦν πανίερον, καὶ αἰσίαν ἑορτήν, Δημήτριε τρισμάκαρ.

Φυλάξας τὰ σήμαντρα σῷα σοφέ, ὡραιότητος πρώτης εἰς καιρόν, ζωῆς ξύλου λαμπρῶς τετύχηκας, τὸν ἁρμόζντα, καὶ τρυγᾶς ἐν τῇ Ἐδέμ, ἀγαθῶν παγκαρπίαν.

Σωτήρ μου καὶ ῥύστης ἐβόας Χριστός, ἐξ ἐχθρῶν μου ὀργίλων, τῶν ἀθέων εἰδώλων καταμωκώμενος, καὶ λελόγχευσαι, διὰ τοῦτο τὴν πλευράν, Ἀθλητὰ γενναιόφρον.

*Θεοτοκίον*

Θαυμάτων τὸ μέγιστο θαῦμα ἐν Σοί, ὤφθη ἄσπιλε ἀμνάς, τὸν γὰρ αἴροντα κόσμου τὴν ἁμαρτίαν, ἀμνὸν ἀπεκύησας, Ὃν δυσώπει ἐκτενῶς, ὑπὲρ τῶν Σὲ ὑμνούντων.

*Τοῦ Ἁγίου Νέστορος. Ζάλη με λογισμῶν*

Σφραγῖδι σημανθείς σου τὴν καρδίαν, γενναίως κατέτρωσας τῷδόρατι τῆς ἀνδρείας, τὴν καρδίαν Λυαίου Ἀθλητά, καὶ χαίρων θανατοῦσαι, διὰ τὴν πάντων ζωήν.

Νυμφίος ἐκ παστάδος τῆς σαρκός σου, Νέστορ ἐκπεπόρευσαι, στολαῖς ταῖς ἐξυφανθείσαις, ἐξ αἱμάτων σου Μάρτυς ἱερῶν φαιδρῶς ὡραϊσμένος, καὶ τῷΔεσπότῃ παρέστης Χριστῷ.

Ὑψώσας ἐπὶ πέτραν σοῦ τοὺς πόδας, εὐσεβείας ἔστησε, Χριστὸς τῆς ζωῆς ἡ πέτρα, καὶ κατεύθυνε Νέστορ πρὸς αὐτόν, τὰ διαβήματά σου, καὶ τοὺς ἐχθρούς σου κατῄσχυνε.

*Θεοτοκίον*

Ῥῆξον μου τὰς σειρὰς τῶν ἐγκλημάτων, ἡ Θεὸν κυήσασα, τὸν αἴροντα τὴν τοῦ κοσμου ἁμαρτίαν, Παρθένε Μαριάμ· ἐν σοὶ γὰρ τὰς ἐλπίδας, τῆς σωτηρίας ἀνέθηκα.

*Κοντάκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τοῖς τῶν αἱμάτων σου, ῥείθροις ἀπέπνιξας, τὸν πολυμήχανον, Νέστορ πανένδοξε, τῇ Ἐκκλησίᾳ δὲ

Χριστοῦ, ἐξήνθησαν Ἀθλοφόρε, ῥόδον ὡς πανεύοσμον, σῶν ἀγώνων τοῖς ἄνθεσι, πάντων τῶν τιμώντων σε, κατευφραίνων τὰ πνευματα, διὸ σὲ νῦν αὐτοῦ μὲν ῥυσθῆναι, πάσης ἀνάγκης καὶ θλίψεως.

*Ἕτερον. Ἦχος β'. Τὰ ἄνω ζητῶν*

Ἀθλήσας καλῶς, ἀθάνατον τὴν εὔκλειαν, κεκλήρωσαι νῦν, καὶ στρατιώτης ἄριστος, τοῦ Δεσπότου γέγονας, ταῖς εὐχαῖς Δημητρίου τοῦ Μάρτυρος, σὺν αὐτῷ οὖν Νέστορ σοφέ, πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

*Ὁ Οἶκος*

Ῥώμῃ Θεοῦ ἀθλήσας, παμμάκαρ, νικηφόρος ἐδείχθης, τὸν ἐχθρὸν τοῖς ποσὶ καταπατήσας, δεδόξασαι, στεφανίτης σὺν ταῖς χορείαις τῶν σεπτῶν Ἀθλοφόρων Νέστορ ἐφάνης, καὶ Ἀαρὼν ὑπερήρθης Χριστοῦ Ἀθλητά, σὺν Ἄβελ αἷμα τὸ θεῖον σου προσενέγκας, καὶ θρόνῳ θείῳ τοῦ κτίσαντος παρεστώς, σὺν Ἀγγέλων τοῖς τάγμασι, πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

*Συναξάριον.*

Τῇ ΚΖ΄ τοῦ αὐτοῦ μηνός, μνήμην ἐπιτελοῦμεν τοῦ Ἁγίου Μάρτυρος Νέστορος.

*Σταυροῦ τρανώσας τὴν δυναστείαν Νέστορ,*
*τῷ Σταυρωθέντι ἄγει τὴν κεφαλὴν ὡς δῶρον.*
*Εἰκάδι ἑβδόμῃ Νέστορ στέφος ἄφθαρτον τμηθείσῃ κεφαλῇ ἐδέχθη.*

*ᾨδὴ ζ΄. Τοῦ Ἁγίου Δημητρίου. Ὁ παῖδας ἐκ καμίνου.*

Ὁ Νέστορα, καὶ Λοῦπον Δημήτριος, ἀλείψας πρὸς ἄθλησιν, πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, Σὺ μόνος εὐλογητὸς ἀνακράζων· Θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες, εὐσεβεῖς νῦν διδάχθητε, παρθενίας χάριτιας, ἴδε ὁ κλεινός, Χριστοῦ ὁπλίτης τὰ μύρα, τῆς καθάρσεως δείκνυσι μέγαν καρπόν, ἃ βλύζει παρθενικῶν ἐξ αἱμάτων, ὑμνῶν τὸ τῶν Πατέρων Θεόν.

Ὡς ὄντως, ἱερὰ ὢ Δημήτριε, σφαγή σου πλευρόνυκτος, ῥηγνὺς γὰρ πλευράς, τὸ ἐπισκέπον σαρκίον, καὶ γυμνὴν τῷ Χριστῷ δεικνὺς ἔκραζες, οὐ κέκρυπται ἀπὸ σοῦ τὸ ὀστοῦν μου κρυφῇ, ὅπερ εἰργάσω Χριστέ.

Θανάτῳ ἀντηλλάξω Δημήτριε, ζωὴν τὴν αἰώνιον, σπείρεις οὐ σαρκός, ἀλλὰ τῷ Πνεύματι, δι᾽ ὃ καὶ θερίζεις ἐκ τούτου τὰ μόνιμα, τὸν μόνον εὐλογητὸν μεγαλύνων, Θεὸν τὸν τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον*

Τὸ πάντων, Προφητων πολυώνυμον, Σὺ ὑπάρχει κήρυγμα, πύλη γὰρ Θεοῦ, στάμνος χρυσῆ, γῆ ἁγία ἀνεδείχθης, Παρθένε Θεόνυμφε, κυήσασα ἐν σαρκὶ Ἰησοῦν, τὸν Χριστόν, τὸν Πατέρων Θεὸν καὶ ὑπερένδοξον.

*Τοῦ Ἁγίου Νέστορος. Ὁ ἐν τῷ ὄρει τῷ Μωσεῖ*

Ὁ καταυγάσας τῶν πιστῶν τὰς καρδίας, ἀκτῖσι τῶνἀγώνων τοῦ, Ἀθλοφόρου, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶνΠατέρων ἡμῶν.

Τῆς ἀσεβείας κατασβέσας τὴν φλογα, τῇ δρόσῳ τῶναἱμάτων σου Μάρτυς Νέστορ, Εὐλόγητός εἶ μέλπεις νῦν, ὁ Θεὸς τῶνΠατέρων ἡμῶν.

Θυσία ζῶσα εἰς ὀσμὴν εὐωδίας, Κυρίῳ προσαγόμενος Μάρτυς Νέστορ, Εὐλογητὸς εἶ ἔκραζες, ὁ Θεὸς τῶνΠατέρων ἡμῶν.

*Θεοτοκίον*

Ἁγιωτέρα Χερουβὶμ ἀνεδείχθης, τεκοῦσα ὑπεράγιον Θεὸν Λόγον, Ὑπεραγία Δέσποινα, τὸν ἡμᾶς ἁγιάζοντα.

*ᾨδὴ η΄. Τοῦ Ἁγίου Δημητρίου. Αὕτη ἡ κλητή.*

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἐν ᾗ Θεσσαλονίκη, ὡς βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτήν, καὶ πανήγυριν αὐχεῖ πανηγύρεων, καθ’ ἣν εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ ἀνεβόας Δημήτριε, ἄρτου σαρκὸς τοῦ λόγου, κατατρυφήσωμεν πάντες, καὶ τοῦ αἵματος, ζωηφόρου εὐλαβῶς κοινωνήσωμεν, λογχεύῃ δι’ ὃ τὴν πλευράν, καὶ μῦρα βλύζει.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, φαιδρῶς καὶ ἴδε, πόλις Θεσσαλονίκη, λαοὶ ἐκ γῆς μακρόθεν, ἐκ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης, καὶ ἑώρας νῦν ἥκασιν, ἐν σοὶ προσκυνῆσαι Δημήτριον τὸν μέγαν.

Πάτερ Παντοκράτωρ καὶ Λόγε καὶ Πνεῦμα, Μοναρχικὴ Οὐσία, Σὺ εἶ Θεός μου καὶ δόξα, ἀνεκραύγαζεν ὁ Δημήτριος, δι᾽ ὃ καὶ λελόγχευται, καὶ νῦν τὴν Τριάδα, δοξάζει μετ᾽ Ἀγγέλων.

*Θεοτοκίον*

Μόνη ἐν μητράσιν ἐδείχθης Παρθένος, Θεόνυμφε Μαρία, ἄνευ ἀνδρὸς τετοκυῖα τὸν Σωτῆρα Χριστόν, τῆς ἁγνείας τὴν σφραγίδα φυλάξασα, Σὲ μακαριοῦμεν πιστοὶ εἰς τοὺς αἰῶνας.

*Τοῦ Ἁγίου Νέστορος. Γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*

Γῆ τὸ αἷμά σου τὸ σεπτόν, ἐδέξατο χυθὲν ὑπὲρ Χριστοῦ, οἱ οὐρανοὶ δὲ τὴν ψυχήν, ὥσπερ νύμφην ὡραϊσμένην, Μαρτύρων χορεῖαι, καὶ Δικαίων ἁπάντων τὰ πνεύματα, ἐν ἀγαλλιάσει, ὑπήντησάν σοι Μάρτυς.

Ὢ ψυχῆς σου θεοφιλοῦς, τὸν θάνατον τὸν πρόσκαιρον, οὐδὲν ἡγησαμένης, τὸ δὲ ζῆν ἐν Κυρίῳ ἐκλεξαμένης! ὢ θείας ἀνδρείας, ἐχθρῶν κραταιότητα, τῶνμὴ ὁμολογούντων Χριστὸν στηλιτευσάσης!

Τὸν ἀγῶνά σου τὸν καλόν, ἠγώνισαι τὸν δρόμον ἀληθῶς, Νέστορ τετέλεκας σοφέ, καὶ τετήρηκάς σου τὴν πίστιν· λοιπὸν σοι τὸ στέφος, τὸ τῆς δικαιοσύνης ἀπόκειται, ὅπερ παρέξει Χριστὸς εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον*

Οὐ πτοοῦμαι τοῦ δυσμενοῦς, τὰ θήρατρα σὲ ἔχων βοηθόν, οὐ φοβηθήσομαι κακά, σοὶ προστρέχων Θεοκυῆτορ· ἐν σοὶ γὰρ καυχῶμαι, καὶ ἐν σοὶ

ὑπερβήσομαι Πάναγνε, τεῖχος ἁμαρτίας σωθεὶς τῇ σῇ πρεσβείᾳ.

*ᾨδὴ θ΄. Τοῦ Ἁγίου Δημητρίου. Φωτίζου, φωτίζου.*

Φωτίζου, φωτίζου, πᾶσα ἡ ποίμνη Θετταλῶν, ὁ γὰρ σοῦ πολιοῦχος, ὡς ἀστὴρ ἐπέφανεν, ἐξ οὐρανοῦ πεμπόμενος, φωταγωγῶν, ἅπασαν τὴν κτίσιν, ὁ μέγας Μάρτυς Δημήτριος.

Ὢ θείας! ὢ φίλης! ὢ γλυκυτάτης σου φωνῆς! τοῦ Χριστοῦ Ἀθλοφόρε, ἐπηγγείλω ἔσεσθαι, καὶ γὰρ κινδύνων καιρῷ, μεθ' ὑμῶν ἣν σὸς λαός, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ θεῖον, ἡμῶν Δημήτριε σοφέ, διὰ σοῦ πάσης βλάβης, ἐξ Αἰγύπτου ἄντικρυς, βαίνομεν πᾶσα ἡ ποίμνη σου, ἣν ὁδηγῶν, τῇ ἐπιγελμένῃ, τρυφῇ εἰσάγεις, πρεσβείαις σου.

*Θεοτοκίον*

Τὸ ὄρος τὸ μέγα, ἐν ᾧ κατῴκησε Χριστός, Σὺ ὑπάρχεις Παρθένε, ὡς Δαβὶδ ὁ θεῖος βοᾶ, δι' ἧς ἡμεῖς, ἀνυψώθημεν πρὸς οὐρανόν, υἱοθετηθέντες, τῷ Πνεύματι παμμακάριστε.

*Τοῦ Ἁγίου Νέστορος. Ὅτι ἐποίησέ μοι μεγαλεῖα*

Πορφύραν ἐξ αἱμάτων, βεβαμμένην σου ἱερῶν, φορέσας καὶ κατέχων δεξιᾷ ὥσπερ σκῆπτρον τὸν Σταυρόν, συμβασιλεύεις τῷ Χριστῷ, Νέστορ μακάριε.

Πέπειρος βότρυς ὤφθης, τῆς ἀμπέλου τῆς νοητῆς· ληνοῖς δὲ μαρτυρίου ἐκθλιβείς, κατανύξεως ἡμῖν, οἶνον ἀνέβλυσας πιστοῖς, Νέστορ πολύαθλε.

Χορεύων μέτ' Ἀγγέλων, πρὸ προσώπου τοῦ Ἰησοῦ, καὶ δόξης ἀπολαύνων τῆς αὐτοῦ, τῶντελούντων σου πιστῶς, Νέστορ τὴν μνήμην τὴν σεπτήν, ἀεὶ μνημόνευε.

*Θεοτοκίον*

Φωτὸς ὤφθης δοχεῖον, τοῦ σκεδάσαντος τὴν ἀχλύν, τῆς πάλαι ἀγνωσίας ἀληθῶς, ἁγιάσματος σκηνή, χρυσὴ λυχνία οὐρανῶν, ὑψηλοτέρα Ἁγνή.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε*

Λυαίου τὴν ἀπόνοιαν, καὶ μανιώδη ἔπαρσιν, τῇ τοῦ Σταυροῦ δυναστείᾳ, καὶ ταῖς εὐχαῖς Δημητρίου, τοῦ πανενδόξου Μάρτυρος, καθεῖλες Νέστορ πρότερον, τὰ πάθη τροπωσάμενος, καὶ Μάρτυς ἄριστος ὤφθης, Χριστοῦ σοφὲ ἀθλοφόρε.

*Ἕτερον. Ὅμοιον.*

Ὡς γνώμην ὑπερήφανον, καὶ βάρβαρον θρασύτητα, Λυαίου ἔλυσας Νέστορ, καὶ σὺν αὐτῷ τῶν τυράννων, οὕτω καὶ τῶν ὑμνούντων σε, τὰ ἐμπαθῆ κινήματα, Μάρτυς Χριστοῦ κατάβαλε, ἐν ἀπαθείᾳ σὲ ὅπως, Μάρτυς Χριστοῦ ἀνυμνῶμεν.

*Θεοτοκίον*

Συνήθως τὰ ἐλέη σου, φιλάγαθε πανύμνητε, καὶ τοὺς πολλοὺς οἰκτιρμούς σου, δεῖξον καὶ νῦν Θεοτόκε, ἐκ πάσης περιστάσεως, κινδύνων τε καὶ θλίψεων, πάντας

ἡμᾶς ἐξαίρουσα, τῆς ἀπειλῆς τοῦ σεισμοῦ τε, τῆς φοβερᾶς λυτρουμένη.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Δεῦτε πιστοὶ συνελθόντες ἀνευφημήσωμεν, Δημήτριον τὸν θεῖον, καὶ γενναῖον ὁπλίτην, σὺν τούτῳ οὖν ὑμνοῦντες τὸν εὐκλεῆ, καὶ λαμπρὸν πάντες Νέστορα, ὡς τοῦ Λυαίου τὴν ἔπαρσιν καθελών, καὶ Χριστῷ νῦν κατηξίωται.

Ἀγαλλομένῃ καρδίᾳ καὶ σταθηρῷ λογισμῷ, πρὸς τοὺς ἀγῶνας Νέστορ, ηὐτομόλησας ὄντως, ἐπ΄στης ἐν ἐν εἱρκτῇ ὅθεν εὐχαῖς, Δημητρίου αἰτούμενος, καὶ τοῦ Σταυροῦ τὸ σημεῖον καθωπλισθεις, καὶ τῆς νίκης θάῤῥος ἔλαβες.

Τὴν εὐσεβὴν πανοπλίαν ἀμφιασάμενος, πρὸς πόλεμον ἐδείχθης, Χριστοῦ τοῦ Βασιλέως, ὦ Νέστορ Ἀθλοφόρε ὥσπερ ποτέ, Γεδεὼν ὁ παγκράτιστος, τῶν ἀλλοφύλων τὰ στίφη καταβαλών, ῥωμαλαίῳ παῤῥησίᾳ σου.

Μετὰ Θεὸν εἰς τὴν σκέπην ὑμῶν πολύαθλοι, Δημήτριε καὶ Νέστορ, στρατιῶται γενναῖοι, τρέχομεν προθύμως σκέπετε οὖν, ἡμᾶς πάντας ἑκάστοτε, καὶ οὐρανῶν Βασιλείας ἐπιτυχεῖν, μετὰ τέλος ἀξιώσατε.

*Δόξα. Ἦχος β΄.*

Ὑπερφρονήσας, τῶν τῇδε γεηρῶν, παμμάκαρ Νέστορ πανσεβάσμιε, πρὸς τὸ σκάμμα ἀνδρείως ἔσπευσας· καὶ τῇ πάλῃ δι᾿ αἵματος, σὺ ἐντέχνως Μάρτυς, τὸν ὑπερήφανον καθελών, ἐκομίσω τῆς νίκης

στέφος, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἐκλιπαρῶν δι' ἡμᾶς, μὴ ἐλλίπῃς Ἀθλοφόρε, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὢ θαύματος καινοῦ, πάντων τῶν πάλαι θαυμάτων! τίς γὰρ ἔγνω Μητέρα, ἄνευ ἀνδρὸς τετοκυῖαν, καὶ ἐν ἀγκάλαις φέρουσαν, τὸν ἅπασαν τὴν κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν, ὃν ὡς βρέφος Πάναγνε, σαῖς ὠλέναις βαστάσασα, καὶ μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν σὲ τιμώντων, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάρια.*

Τὸν Χριστὸν ποθήσας εἰλικρινῶς, ἔδραμες πρὸς πάλην ἐν σταδίῳ νικητικῶς, Μάρτυς Ἀθλοφόρε, εὐχαῖ τοῦ Δημητρίου, ὢ Νέστορα τρισμάκαρ, διὸ τιμῶμέν σε.

Δόξῃ Ἀθλοφόρε μαρτυρικῇ, καὶ στέφεθ ἀφθάρτῳ παριστάμενος τῷ Χριστῷ, Δημήτριε θεῖε, μετὰ τοῦ Γεωργίου, καὶ Νέστορος συνάθλου, ἡμῶν μνημόνευε.

